ΠΜΣ «Αρχαιολογία και Ιστορία του Αρχαίου Κόσμου: Αρχαία Ιστορία»
«Ιδιωτικά σωματεία και συσσωματώσεις με επίκεντρο το γυμνάσιο στις αρχαίες ελληνικές πόλεις (2ος αιώνας π.Χ.–3ος αι. μ.Χ.)» (Διδάσκων: Ν. Γιαννακόπουλος)
Μαρία Ηλιοπούλου
7561 11 2400006

# Συσσωματώσεις με επίκεντρο τη λατρεία του Διονύσου στον ελλαδικό χώρο

Jaccottet, *Choisir Dionysos*, vol. 2, inscr.[1] 6: Μέγαρα, α’ μισό 2ου αι. μ.Χ.- Παλαιὸν Βακχεῖον

ἀγαθῇ ❦ τύχῃ. ❦
ψ(ηφίσματι) β(ουλῆς).
Φλαβίαν Λαΐδα, Τ(ίτου) Φλαβίου Μαξί-
μου γυναῖκα, θυγατέρα δὲ Γ(αΐου) Κουρ-
τίου Πρόκλου, καὶ Φλαβίαν Ἀπολ-
λωνίαν, θυγατέρα Μαξίμου καὶ Λαΐ-
δος, **τὸ παλαιὸν Βακχεῖον** εὐνοίας
χάριν. ἐπ’ ἀρχιερέως Ζωσίμου
τοῦ Νυμφα[ίο]υ.

Jaccottet, *Choisir Dionysos*, vol. 2, inscr. 9: Τανάγρα, τέλη 2ου-αρχές 1ου αι. μ.Χ.- Επιτύμβια στήλη

Ἐπὶ
Εὐτύχω.
Τοῦτον **ἔθαψαν**
**οἱ Διονυσιασταὶ**
καὶ οἱ ἀμπελουργοί.

Jaccottet, *Choisir Dionysos*, vol. 2, inscr. 10: Λειβαδιά, 3ος αι. μ.Χ.- πρόαρχος τοῦ Βακχείου

Ἀγαθῇ Τύχῃ.
ὁ ἱερεὺς τοῦ
Διὸς τοῦ Τρο-
φωνίου καὶ **πρό-**
**αρχος τοῦ Βακ-**
**χείου** Μ(ᾶρκος) Αὐρ(ήλιος)
Νεικόβουλος
Νεικοβούλου
τὸν θεὸν Διό-
νυσον τῷ κοι-
νῷ τῶν λατό-
μων ἐκ τῶν ἰδί-
ων ❦
εὐτυχῶς.

Jaccottet, *Choisir Dionysos*, vol. 2, inscr. 18: Βέροια, 7 μ.Χ.- Αγορανόμος του κοινού των θιασωτών

A ἔτους · αʹ · καὶ · μʹ · καὶ · ρʹ · Ἀρτεμισίου·
Παράμονος Θεογένους vac.
**ἀγορανομήσας τοῦ θιάσου**

---

[1] Για την αναφορά στις επιγραφές χρησιμοποιείται το έργο της Anne-Françoise Jaccottet, *Choisir Dionysos: Les associations dionysiaques ou la face cachée du dionysisme*, 2 vols, Kilchberg, 2003 και τηρείται η αρίθμηση των επιγραφών, όπως εντοπίζεται στον 2ο τόμο.

ἐκ τοῦ ἰδίου Διονύσωι. vac.
B **τὸ κοινὸν τῶν θιασ[ω]-**
**τῶν** Παράμονον
Θεογένου.

Jaccottet, *Choisir Dionysos*, vol. 2, inscr. 19: Θεσσαλονίκη, αρχές 1ου αι. π.Χ.- Legs αγροτικών εδαφών(επιλογή στίχων)

{2vacat 0,015}2
[vv ἀγαθῆ]ι̣ τ̣⍰χηι **Διὸς** vacat
vacat **Δ̣ι̣ο̣νύσ̣ου** vv **Γονγύλου**. vacat
Ἰούλιος ΒΗ̣CΑ̣Ρ̣ΤΗC ἀνέθηκεν τῷ θ̣ε̣ῷ κ<α>ὶ
ἔδωκεν ἐν δόσε̣ι **τοῖς τε νῦν αὐτοῦ καὶ ἐ̣σομένοις**
**μύστα̣ις**, ἕως ἂν συνιστῶ̣νται, ἀμπέλων ἐν τῇ
Περ̣δυλί̣ᾳ <ἕν>· ἕν τ̣ε̣ ἄστυ · ι · πλέθρων πέντε τὸ τρίτον
μέρος ἐπὶ τῷδε· ἐφ’ ᾧ τὴν κ̣αρπήα̣ν ἐχόντων
κα̣θ’ ἔτος γείνηται̣ ἡ ἐπὶ τῶν θρεψάντων
[α]ὐ̣τοῦ ἑστίασις κ̣ατὰ τὸ παραδεδομένον
καὶ τὴν δόσιν, Δύστρου ν ιθ, Δαισίου ν ιγ,
Γορπιαίου ν κγ ν ὀμνύντων τῶν τε νῦν καὶ
τῶν ἐσομένον(!) μυστο͂ν(!) τὸν θεὸν καὶ τὰ ὅρ[κ]ια
καὶ τὸ μεσανύκτιον α<ὐ>τ̣οῦ διαφυλάτειν(!) τὴν
ἐ̣π̣⍰νοθ<ε>ν(!) <οἰκί>αν κατὰ τὴν δόσιν. ἀνέθηκαν
δ̣ὲ̣ κ̣α̣ὶ̣ οἱ ὑπογεγρα̣μμένοι μύσται, ἐφ’ ο͂(!) τῆς καρ-
πήα̣ς μετέχουσιν τὸν τοῦ ζῆν χρόνον αὐτοὶ ἐπὶ
τοῦ θεοῦ καὶ μεταπαραλαμβάνωσιν οἱ <ὁποῖοι>
ὄντες μύσται τοῦ αὐτοῦ πεντα̣πλ̣έθρ̣ου τὰ δύο
μέρη ἐφ’ ᾧ ἄπρατα διενεκῶς μ̣ε̣ίνῃ, ὀμοσάν-
των κατὰ τὰ αὐτὰ συνδιαφυλ⍰̣ξειν. vacat
{2intervallum 0,05}2

Jaccottet, *Choisir Dionysos*, vol. 2, inscr. 20: Θεσσαλονίκη, τέλη 2ου μ.Χ.- Ἀσιανῶν ὁ θίασος

Μακεδόνι
**Ἀσιανῶν ὁ θί-**
ν **ασος τῷ συν-**
**μύστῃ** · ἱερητεύον̣-
τος · Π(οπλίου) · Αἰλίου
Ἀλεξάνδρου.

Jaccottet, *Choisir Dionysos*, vol. 2, inscr. 22: Θεσσαλονίκη, 3ος αι. μ.Χ.- Σχετικά με τις ταφικές τιμές (επιλογή στίχων)

εἰ δὲ μηδὲ **ὁ ἕ-**
**τερος θίασος**
ποιῇ, εἶναι αὐ-
τὰ τῆς πόλε-
ως. ❦

Jaccottet, *Choisir Dionysos*, vol. 2, inscr. 25: Φίλιπποι, 1ος-2ος αι. μ.Χ.- Θίασος των Μαινάδων

Lib(ero) et Lib(erae) et Herc(uli).
**thiasus Maenad(um)**
**regianar(um)** aq
[ua]m induxit [p(ecunia) s(ua)].

Jaccottet, *Choisir Dionysos*, vol. 2, inscr. 30: Φίλιπποι, 3ος αι. μ.Χ.- Μύστες Βότρυου Διονύσου

**οἱ περεὶ Ῥοῦφον**

**Ζειπα μύστε Βότρυ-**
**ος Διονύσου** μύ-
[στῃ Ῥο]ύφῳ τῷ εὐερ-
[γέτῃ δῶ]ρον ἐχαρί-
[σαντο — — — — —].

Jaccottet, *Choisir Dionysos*, vol. 2, inscr. 33: Θάσος, τέλη $2^{ου}$ αι. μ.Χ.- Βάση αγάλματος

ἀγαθῇ τύχηι·
Τίτον Αἴλιον Μά-
γνον τὸν κράτι-
στον δουκηνά-
ριον καὶ πρῶτον
τῆς πόλεως καὶ
δὶς ἀρχιερέα δι’ ὅ-
πλων **τὸ πρὸ πόλε-**
**ως Βαχχεῖον**, τὸν
ἑαυτῶν ἱεροφάν-
την τειμῆς καὶ εὐ-
νοίας ἕνεκεν ❦
εὐτυχῶς.

Jaccottet, *Choisir Dionysos*, vol. 2, inscr. 34: Θάσος, 211-217 μ.Χ.- Τιμή στον ιεροφάντη

ἀγαθῆι τύχηι
**τ̣ὸ ἱερώτατον ν̣έ-**
**ον Βακχῖον** τὸν ἀξ-
ιολογώτατον Ἰούν(ιον)
Λαβ(έριον) Μακεδόνα
[τὸ]ν ἑαυτῶν ἱεροφά[ν]-
[τη]ν̣ μηθὲν ἀντεστ[η]-
[κότα(?)]· εὐτυχ[ῶς].

Jaccottet, *Choisir Dionysos*, vol. 2, inscr. 36: Πέρινθος, $2^{ος}$ αι. μ.Χ.- Χρησμός σε σπείρα

[εὐτυχεῖτε]
χρησμὸς Σιβύλλης· ἐπὰν δ’ ὁ Βάκ-
χος εὐάσας πλη<σθή>σ<ε>τα<ι>, <τ>ό<τε> αἷμα
καὶ πῦρ καὶ κόνις μιγήσεται.
Σπέλλιος Εὐήθις
**ἀρχιβούκολος**
Ἡρακλείδου Ἀλεξάνδρου
**ἀρχιμυστοῦντος**
Ἀλέξανδρος **σπείραρχος**
Ἀρριανὸς Ἀγαθία
Ἡρόξενος Μάγνου
Σωτήριχος Δαδα
Μηνόφιλος β΄.

Jaccottet, *Choisir Dionysos*, vol. 2, inscr. 38- Στήλη $1^{η}$: Ρήγιον Θράκης, επί Δομιτιανού (μετά το 83/4) ή Τραϊανού- Διόνυσος Κάλλων (τιμητικό ψήφισμα)

ἐπὶ ἱερομνάμονος θεᾶς Ἥρας, ἱεροποιοῦ δὲ
αὐτῆς τὸ δεύτερον ἐκ τῶν ἰδί-
ων Λολλίας Κοΐντου θυγατρὸς
Κατύλλης, μηνὸς Βοσπορίου
**οἱ μ[ύσται] Διονύσου Κάλλωνος**
ἐτείμ[ησαν τ]ὴν γυμνασίαρχον

Κρισπεῖναν Αἰσχύλου γυμνασιαρχήσασαν
πολυτελῶς καὶ καλῶς.

Jaccottet, *Choisir Dionysos*, vol. 2, inscr. 40: Βυζάντιο, επί Αδριανού- Στήλη θιασιτών Διονύσου Παραβόλου

1 ἐπὶ ἱερομνάμονος Ἀδ[ριαν]οῦ Καίσαρ[ος]
τὸ · α´ · **οἱ θιασῖται Διονύσῳ Παραβόλωι̣**
ὑπὲρ τοῦ γυμνασιάρχου Ποτάμονος Μηνοδό-
3a του
4 τὴν τιμὴν εὐεργεσίας χάριν
5 ἐπὶ ἱερέος Μηνίου Ἀλεξάνδρ[ου]
καὶ ταμία Τιμογένου Τιμογένου,
προστάτου Μηνοδότου Τιμο-
γένου, καὶ εὐεργέτου Χρυσίωνος
Μηνίου, καὶ γραμματέος Ποτάμονο[ς]
10 Ποτάμονος.

Jaccottet, *Choisir Dionysos*, vol. 2, inscr. 41: Βυζάντιο, επί Αδριανού- Διονυσοβολείτες

1 ἐ̣πὶ ἱερομνάμονος Ἀδριανοῦ Καίσαρος τὸ β´ Πλα?[——]
**Διον[υ]σ̣οβολειτῶν** Οὐολοσεία Κλαυδιανὴ γυνὴ [——]
[——————————————————————————]

Jaccottet, *Choisir Dionysos*, vol. 2, inscr. 155: Κως, ; - Θίασος Βακχιαστᾶν

[——————————]
1 [ὁ δεῖνα τοῦ ——]άνεος,
Εὐμηλιόδωρος Διοκλεῦς
**θιάσῳ Βακχιαστᾶν τῶν σ[ὺν]**
**Εὐμηλιοδώρωι.**

Jaccottet, *Choisir Dionysos*, vol. 2, inscr. 156: Ρόδος, $2^{ος}$-$1^{ος}$ αι. π.Χ.- Επιτύμβιος βωμός (επιλογή στίχων)

A {corona laurea sine lemniscis}
[ἀ]ρχερανιστὰς Ἀλιαστᾶν καὶ Ἀλιαδᾶν
[Δ]ιονυσόδωρος Ἀλεξανδρεύς, εὐεργέ-
τας, ἐπαινεθεὶς καὶ στεφανωθεὶς
4 **ὑπὸ τοῦ κοινοῦ τοῦ Διονυσιαστᾶν**
[ἐ]π’ ἀρετᾶι χρυσέωι στεφάνωι
καὶ τιμαθεὶς εὐεργεσίαι καὶ ἀτελείαι
πάντων καὶ στεφανωθεὶς ὑπὸ τῶν συν-
8 [ε]ρανιστᾶν τῶν εὐεργετηθέντων
ὑπ’ αὐτοῦ χρυσέοις στεφάνοις
δυσὶ **ἐν τᾶι τῶν Βακχείων ὑποδο-**
**χᾶι** κατὰ τριετηρίδα, ἀνέθηκε
12 τριετηρίσι καὶ **τῶι κοινῶι**.
C {corona oleagina lemniscata, corona laurea magna sine lemniscis}
1 ἀρχερανιστὰς
Διονυσόδωρος Ἀλεξανδρεύς, εὐεργέτας,
10 καὶ ἀτελείαι πάντων, **ἀνέθηκε**
**[Διο]νύσωι Βακχείωι καὶ τῶι κοινῶι**.

Jaccottet, *Choisir Dionysos*, vol. 2, inscr. 158: Λίνδος, $1^{ος}$ αι. μ.Χ.- Τιμές σε άγνωστο πρόσωπο (επιλογή στίχων)

1 [——————————————————————————]θεσα̣.
[————————————]Ω. ΩΝΥ. . Δ[— τ]ε[ιμα]θέντα ὑπὸ

**τοῦ κοινοῦ τοῦ Διονυσιαστᾶν Ἀθαναϊσστᾶν Διὸς**
**Ἀταβυριαστᾶν Εὐφρανορ[ίω]ν** τῶν σὺν Ἀθηναίῳ Κνιδίῳ
χρυσέῳ στεφάνῳ καὶ ἀναγορεύσεσιν ἰσστὸν ἀεὶ χρόνον·

Lindos II 391: <u>Λίνδος (Ρόδος), 10 μ.Χ.- Κατάλογος τιμών</u> (επιλογή στίχων)
[ἱερεὺς] Ἀθάνας Λι[νδίας καὶ Διὸς]
[Πο]λ[ιέω]ς καὶ Ἀρτάμ[ιτος Κεκοίας]
Λαφείδης Λαφε[ίδευς]
δίς, [καὶ ὑ]πὸ Ἀθαναϊ[σ]τᾶ[ν] Λινδιαστᾶν χρυσέῳ [στ]εφ[άνῳ, καὶ ὑπὸ] **Δ[ιο]-**
**ν[υσιαστᾶν] Νερων[ιαν]ῶν** χρυσέῳ στεφά[ν]ῳ, [κ]α[ὶ ὑπὸ Ἀσκλ]α[πιασ]-

Jaccottet, *Choisir Dionysos*, vol. 2, inscr. 159: <u>Ρόδος, αρχές 3ου αι. μ.Χ.- Τιμητικό ψήφισμα</u>
[Ὁ] δᾶμος ὁ Ῥοδίων καὶ ἁ βουλὰ Μάρκον Αὐρή[λιον]
[Κ]ῦρον Εὔπλοος Ποντωρῆ τὸν ἱερέα τοῦ Βακχ[ίου (?)]
Διονύσου, τὸν διαδεξάμενον τὰν ἱερωσύναν ἐ[ν]-
δόξως παρὰ τοῦ ἀδελφοῦ αὐτοῦ Μάρ(κου) Αὐρ(ηλίου) Ἁλιοδώρου
Εὔπλοος Ποντωρέως καὶ φιλοτειμησάμενον ἐκ
τῶν ἰδίων τῇ μὲν κρατίστῃ βουλῇ δηναρίου (sic) μυρι-
άδας δύο, ἐφ᾽ ᾧ τῶν μὲν μυρίων δηναρίων ὁ τόκος
διανέμηται τοῖς θερινοῖς βουλευταῖς ἐπὶ τῇ γενε-
θλίῳ αὐτοῦ ἡμέρᾳ Δαλίου νουμηνίᾳ, τῶν δὲ ἄλλων (δηναρίων)
μυρίων καὶ αὐτῶν ὁ τόκος ὁμοίως διανέμηται τῇ χει-
μερινῇ βουλῇ ἐπὶ τῇ γενεθλίῳ ἡμέρᾳ τοῦ ἀδελφοῦ αὐ-
τοῦ Μάρκου Αὐρ(ηλίου) Ἑρμοῦ Εὔπλοος Ποντωρέως, ἥτις ἐστὶν
Πεταγειτνίου ιθ᾽, φιλοτειμησαμένου (sic) δὲ καὶ ἐπὶ τᾷ ἀνα-
[σ]τάσει τοῦ ἀνδριάντος αὐτου τοῖς σεμνοτάτοις βουλευ-
ταῖς, δόντα δὲ καὶ ἐπὶ ταῖς τῆς ἱερωσύνης πανηγύρεσιν
νομὰς φιλοτείμως, ἑκάστῳ μὲν βολευτῇ (δηνάρια) δέκα καὶ
ἑκάστῳ πολείτῃ (δηνάρια) πεντε, καὶ ἐ[λ]α[ιοθ]ετήσαντα ἡμέρας κ᾽
ἐν τῳ τῆς ἱερωσύνης ἐνιαυτῷ, δόντα δὲ καὶ ὑπὲρ τοῦ
ὑοῦ Μάρκου Αὐρ(ηλίου) Ζωτίκου Κύρου Ποντωρέως ἐφήβου
τῇ σεμνοτάτῃ βουλῇ νομὴν, καὶ εἰς πολλὰ δὲ καὶ
ἀλλὰ χρησίμου γεινομένου (sic) αὐτοῦ τᾷ πόλει· ἁ πατρὶς
[κ]αὶ βακχεῖα, οἷς καὶ ἐφιλοτειμήσατο ΑΝΔΡΟΣΙΝΗ
[- -]ΟΣ (δηνάρια) ρ᾽, δόντα δὲ καὶ τῷ ὑδραύλῃ τῷ ἐπεγείροντι
[τὸ]ν θεὸν (δηνάρια) τξ᾽, καὶ τοῖς τὸν θεὸν ὑμνήσασι κατὰ
[μῆν ?]α (δηνάρια) μ᾽, καὶ ταῖς τοῦ θεοῦ δὲ καθόδοις δυσὶ τοῖς[- - - - - ]
[- - - - - - - - - - - - - - - - - - - - - - - - - - - - - - - -]

Jaccottet, *Choisir Dionysos*, vol. 2, inscr. 165: <u>Μήλος, τέλη 2ου αι. μ.Χ.- Ανάθημα</u>
**Διονύσῳ**
**Τριετηρικῷ**.

Jaccottet, *Choisir Dionysos*, vol. 2, inscr. 168: <u>Μήλος, 2ος-3ος αι. μ.Χ.- Ανάθημα</u>
ἀγαθῇ τύχῃ.
**τὸ κοινὸν τῶν προπόλεων ε(ἱερῶν) μ(υστῶν)**
Αὐρήλιον Ὅμηρον.

Jaccottet, *Choisir Dionysos*, vol. 2, inscr. 169: <u>Θήρα, 160-146 π.Χ.- Τιμητικό ψήφισμα</u> (επιλογή στίχων)
ἀγαθῆι τύχηι· [ἔδοξε **τῶι κοινῶι τῶν]**
**Βακχιστῶν** ἐν [νομαίαι συνόδωι· ἐπειδὴ]

Λάδαμος Διονυσ[οφάνου Ἀλεξανδρεὺς]
τῶν περὶ αὐλὴν δια[δόχων, ὁ τεταγμέ]-
νος ὑπὸ τῶν βασιλέω[ν ἐπὶ Θήρας],
εὔνους ὑπάρχων **τοῖς Βα[κχισταῖς]**
πολλὰς καὶ μεγάλας ἀποδ[είξεις πε]-
ποίηται τῆς εἰς τὰ πράγματ[α ὁρμῆς]
ἔν τε τοῖς πρότερον χρόνοις πο[λλῶι τε]
μᾶλλον ἐν τοῖς νῦν περιστᾶσι και[ροῖς],
[...]
τιμ[ῶ]ν, δεδόχθαι Λάδαμον Διονυσοφά[νου]
καὶ αὐτὸν καὶ γυναῖκα καὶ ἐνγόνου[ς]
εἶναι **θιασίτας**, καὶ μετουσίαν αὐ[τοῖς]
[ὧ]νπ[ερ κ]αὶ τοῖς ἄλλοις θιασίτ[αις μέτε]-
στιν· ἐπάγειν δὲ [αὐτ]οῦ κα[ὶ . . . . . . . . . . ]

Jaccottet, *Choisir Dionysos*, vol. 2, inscr. 170: Θήρα, 210-200 π.Χ.- Ψήφισμα (επιλογή στίχων)
[ἔδοξ]ε **τῶι κοιν[ῶι] τοῦ Ἀνθισ-**
**[τῆ]ρος τοῦ πυθοχρήστου**· ἐ-
[π]ειδὴ Ἀργέα ἁ Δίω[ν]ος φιλό-
δοξος οὖσα καὶ δηλομένα
τᾶς ἰδίας καλοκἀγαθίας μνάμαν ἀ-
πολεῖπεν ἐς πάντα τὸν χρό[νο]ν ἐπαγ-
γέλλεται τῶι κοινῶι δραχμὰ[ς] πε[ν]-
[τ]ακοσίας ὥστ[ε] ἐπάγεσθαι ἀ[εὶ τὰν(?)]
[ἑ]βδόμαν αὐτᾶς τε καὶ τᾶς θυγα[τρὸς]
[Ἰσ]θμῶς κατὰ [κ]οινόν· δεδόχθαι ἀ[ποδε]-

Jaccottet, *Choisir Dionysos*, vol. 2, inscr. 4: Αθήνα, 164/5 μ.Χ.- Ἰόβακχοι
ἀγαθῇ τύχῃ.
ἐπὶ ἄρχοντος Ἀρ(ρίου) Ἐπαφροδείτου, μηνὸς
Ἐλαφηβολιῶνος η´ ἑσταμένου, ἀγορὰν
συνήγαγεν πρώτως ὁ ἀποδειχθεὶς
ἱερεὺς ὑπὸ Αὐρ(ηλίου) Νεικομάχου τοῦ ἀνθι-
ερασαμένου ἔτη ιζ´ καὶ ἱερασαμένου
ἔτη κγ´ καὶ παραχωρήσαντος ζῶντος
εἰς κόσμον καὶ **δόξαν τοῦ Βακχείου**
**τῷ κρατίστῳ Κλα(υδίῳ) Ἡρώδῃ, ὑφ' οὗ ἀνθιερεὺς**
**ἀποδειχθεὶς** [ἀν]έγνω δόγματα τῶν
ἱερασαμένων Χρυσίππου καὶ Διονυσίου,
καὶ ἐπαινέσαντος **τοῦ ἱερέως καὶ τοῦ ἀρ-**
**χιβάχχου καὶ τοῦ προστάτου** ἐξ(εβόησαν)· "τούτοις
ἀεὶ χρώμεθα", "καλῶς ὁ ἱερεύς", "ἀνάκτησαι
[τ]ὰ δόγματα· σοὶ πρέπει", "εὐστάθειαν τῷ
Βακχείῳ καὶ εὐκοσμίαν", "ἐν στήλῃ τὰ δό-
γματα" "ἐπερώτα". ὁ ἱερεὺς εἶπεν· ἐπεὶ καὶ
ἐμοὶ καὶ τοῖς συνιερεῦσί μο[υ] καὶ ὑ-
μεῖν πᾶσιν ἀρέσκει, ὡς ἀξιοῦτε ἐπε-
ρωτήσομεν. καὶ ἐπερώτησεν ὁ πρό-
εδρος Ῥοῦφος Ἀφροδεισίου· ὅτῳ δοκεῖ
κύρια εἶναι τὰ ἀνεγνωσμένα δόγμα-
τα καὶ ἐν στήλῃ ἀναγραφῆναι, ἀράτω
τὴν χεῖρα. πάντες ἐπῆραν. ἐξ(εβόησαν)· **"πολλοῖς**
**ἔτεσι τὸν κράτιστον ἱερέα Ἡρώδην"**
"νῦν εὐτυχεῖς, **νῦν πάντων πρῶτοι**

**τῶν Βακχείων**", "καλῶς ὁ ἀνθιερεύς", "ἡ στήλη γενέστω". ὁ ἀνθιερεὺς εἶπε· ἔσται ἡ στήλη ἐπὶ τοῦ κείονος, καὶ ἀναγραφήσονται· εὐτονήσουσι γὰρ οἱ προεστῶτες τοῦ μηδὲν αὐτῶν λυθῆναι.

vacat spatium unius versus

μηδενὶ ἐξέστω ἰόβακχον εἶναι, ἐὰν μὴ πρῶτον ἀπογράψηται παρὰ τῷ ἱερεῖ τὴν νενομισμένην ἀπογραφὴν καὶ δοκιμασθῇ ὑπὸ τῶν ἰοβάκχων ψήφῳ, εἰ ἄξιος φαίνοιτο καὶ ἐπιτήδειος τῷ Βακχείῳ. ἔστω δὲ τὸ ἰσηλύσιον τῷ μὴ ἀπὸ πατρὸς (δην.) ν´ καὶ σπονδή. ὁμοίως καὶ οἱ ἀπὸ πατρὸς ἀπογραφέσθωσαν ἐπὶ (δην.) κε´ διδόντες ἡμιφόριον μέχρις ὅτου πρὸς γυναῖκας ὦσιν. συνίτωσαν δὲ οἱ ἰόβακχοι τάς τε ἐνάτας καὶ τὰς ἀμφιετηρίδας καὶ Βακχεῖα καὶ εἴ τις πρόσκαιρος ἑορτὴ τοῦ θεοῦ, ἕκαστος ἢ λέγων ἢ ποιῶν ἢ φιλοτειμούμενος, καταβάλλων μηνιαίαν τὴν ὁρισθεῖσαν εἰς τὸν οἶνον φοράν· ἐὰν δὲ μὴ πληροῖ, εἰργέσθω τῆς στιβάδος, καὶ εὐτονείτωσαν οἱ τῷ ψηφίσματι ἐνγεγραμμένοι, χωρὶς ἢ ἀποδημίας ἢ πένθους ἢ νόσου ἢ <εἰ> σφόδρα ἀνανκαῖός τις ἦν ὁ προσδεχθησόμενος ἰς τὴν στιβάδα, κρεινάντων τῶν ἱερέων. ἐὰν δὲ ἰοβάκχου ἀδελφὸς ἰσέρχηται ψήφῳ δοκιμασθείς, διδότω (δην.) ν´· ἐὰν δὲ ἱερὸς παῖς ἐξωτικὸς καθεσθεὶς ἀναλώσῃ τὰ πρὸς τοὺς θεοὺς καὶ τὸ Βακχεῖον, ἔστω μετὰ τοῦ πατρὸς ἰόβακχος ἐπὶ μιᾷ σπονδῇ τοῦ πατρός. vv τῷ δὲ ἀπογραψαμένῳ καὶ ψηφοφορηθέντι διδότω ὁ ἱερεὺς ἐπιστολὴν ὅτι ἐστὶν ἰόβακχος, ἐὰν πρῶτον δοῖ τῷ ἱερεῖ τὸ ἰσηλύσιον, ἐνγραφομένου τῇ ἐπιστολῇ τὰ χωρήσαντα εἰς τόδε τι. οὐδενὶ δὲ ἐξέσται ἐν τῇ στιβάδι οὔτε ᾆσαι οὔτε θορυβῆσαι οὔτε κροτῆσαι, μετὰ δὲ πάσης εὐκοσμίας καὶ ἡσυχίας τοὺς μερισμοὺς λέγειν καὶ ποιεῖν, προστάσσοντος τοῦ ἱερέως ἢ τοῦ ἀρχιβάκχου. vvvv μηδενὶ ἐξέστω τῶν ἰοβάκχων τῶν μὴ συντελεσάντων εἴς τε τὰς ἐνάτας καὶ ἀμφιετηρίδας εἰσέρχεσθαι ἰς τὴν στιβάδα μέχρις ἂν ἐπικριθῇ αὐτῷ ὑπὸ τῶν ἱερέων ἢ ἀποδοῦναι αὐτὸν ἢ ἰσέρχεσθαι. vvv μάχης δὲ ἐάν τις ἄρξηται ἢ εὑρεθῇ τις ἀκοσμῶν ἢ ἐπ’ ἀλλοτρίαν κλισίαν ἐρχόμενος ἢ ὑβρίζων ἢ λοιδορῶν τινα, ὁ μὲν λοιδορηθεὶς ἢ ὑβρισθεὶς παραστανέτω δύο ἐκ τῶν ἰοβάκχων ἐνόρκους, ὅτι ἤκουσαν ὑβριζόμενον ἢ λοιδορούμενον, καὶ ὁ ὑβρίσας ἢ λοιδορήσας ἀποτιν[νύ]-

τω τῷ κοινῷ λεπτοῦ δρ(αχμὰς) κε´, ἢ ὁ αἴτιος
γενόμενος τῆς μάχης ἀποτιννύτω
τὰς αὐτὰς δρ(αχμὰς) κε´, ἢ μὴ συνίτωσαν ἰς τοὺς
ἰοβάκχους μέχρις ἂν ἀποδῶσιν.
ἐὰν δέ τις ἄχρι πληγῶν ἔλθῃ, ἀπογραφέστω
ὁ πληγεὶς πρὸς τὸν ἱερέα ἢ τὸν ἀνθιερέα,
ὁ δὲ ἐπάνανκες ἀγορὰν ἀγέτω, καὶ ψή-
φῳ οἱ ἰόβακχοι κρεινέτωσαν προηγου-
μένου τοῦ ἱερέως, καὶ προστειμάσθω
πρὸς χρόνον μὴ εἰσελθεῖν ὅσον ἂν δό-
ξῃ καὶ ἀργυρίου μέχρι (δην.) κε´. ν ἔστω δὲ
τὰ αὐτὰ ἐπιτείμια καὶ τῷ δαρέντι καὶ
μὴ ἐπεξελθόντι παρὰ τῷ ἱερεῖ ἢ τῷ
ἀρχιβάκχῳ, ἀλλὰ δημοσίᾳ ἐνκαλέσαν-
τι. ν ἐπιτείμια δὲ ἔστω τὰ αὐτὰ τῷ εὐκόσ-
μῳ μὴ ἐκβαλόντι τοὺς μαχομένους.
εἰ δέ τις τῶν ἰοβάκχων εἰδὼς ἐπὶ τοῦ-
το ἀγορὰν ὀφείλουσαν ἀχθῆναι μὴ ἀ-
παντήσῃ, ἀποτεισάτω τῷ κοινῷ λε-
πτοῦ δρ(αχμὰς) ν´. ἐὰν δὲ ἀπειθῆι πρασσόμε-
νος, ἐξέστω τῷ ταμίᾳ κωλῦσαι αὐτὸν
τῆς εἰσόδου τῆς εἰς τὸ Βακχεῖον μέ-
χρις ἂν ἀποδοῖ. νννν ἐὰν δέ τις τῶν
εἰσερχομένων τὸ ἰσηλύσιον μὴ
διδοῖ τῷ ἱερεῖ ἢ τῷ ἀνθιερεῖ, εἰργέσ-
θω τῆς ἑστιάσεως μέχρις ἂν ἀπο-
δοῖ, καὶ πρασσέσθω ὅτῳ ἂν τρόπῳ
ὁ ἱερεὺς κελεύσῃ. νν μηδεὶς δ’ ἔπος
φωνείτω μὴ ἐπιτρέψαντος τοῦ ἱε-
ρέως ἢ τοῦ ἀνθιερέως ἢ ὑπεύθυνος
ἔστω τῷ κοινῶι λεπτοῦ δρ(αχμῶν) λ´.
ὁ ἱερεὺς δὲ ἐπιτελείτω τὰς ἐθίμους
λιτουργίας στιβάδος καὶ ἀμφιετη-
ρίδος εὐπρεπῶς καὶ τιθέτω τὴν
τῶν καταγωγίων σπονδὴν στι-
βάδι μίαν καὶ θεολογίαν, ἣν ἤρ-
ξατο ἐκ φιλοτειμίας ποιεῖν ὁ ἱε-
ρασάμενος Νεικόμαχος. νν ὁ δὲ ἀρχί-
βακχος θυέτω τὴν θυσίαν τῷ
θεῷ καὶ τὴν σπονδὴν τιθέτω
κατὰ δεκάτην τοῦ Ἐλαφηβολι-
ῶνος μηνός. νν **μερῶν δὲ γεινομέ-**
**νων αἱρέτω ἱερεύς, ἀνθιερεύς,**
**ἀρχίβακχος, ταμίας, βουκολικός,**
**Διόνυσος, Κόρη, Παλαίμων, Ἀφρο-**
**δείτη, Πρωτεύρυθμος.** τὰ δὲ ὀνό-
ματα αὐτῶν συνκληρούσθω
πᾶσι. νν ὃς δ’ ἂν τῶν ἰοβάκχων λάχῃ κλῆ-
ρον ἢ τειμὴν ἢ τάξιν, τιθέτω τοῖς ἰο-
βάκχοις σπονδὴν ἀξίαν τῆς τάξεως,
γάμων, γεννήσεως, Χοῶν, ἐφηβείας,
πολειτείας, ῥαβδοφορίας, βουλείας, ἀ-
θλοθεσίας, Πανέλληνος, γερουσίας,
θεσμοθεσίας, ἀρχῆς ἧσδηποτεοῦν,

συνθυσίας, εἰρηναρχίας, ἱερονείκου, καὶ εἴ τίς τι ἐπὶ τὸ κρεῖσσον ἰόβακχος ὢν τύχοιτο. ν εὔκοσμος δὲ κληρούσθω ἢ καθιστάσθω ὑπὸ τοῦ ἱερέως, ἐπιφέρων τῷ ἀκοσμοῦντι ἢ θορυβοῦντι τὸν θύρσον τοῦ θεοῦ. νν ᾧ δὲ ἂν παρατεθῇ ὁ θύρσος, ἐπικρείναντος τοῦ ἱερέως ἢ τοῦ ἀρχιβάκχου ἐξερχέσθω τοῦ ἑστιατορείου. ν ἐὰν δὲ ἀπειθῇ, αἱρέτωσαν αὐτὸν ἔξω τοῦ πυλῶνος οἱ κατασταθησόμενοι ὑπὸ τῶν ἱερέων ἵπποι, καὶ ἔστω ὑπεύθυνος τοῖς περὶ τῶν μαχομένων προστείμοις. νν ταμίαν δὲ αἱρείσθωσαν οἱ ἰόβακχοι ψήφῳ εἰς διετίαν, καὶ παραλαμβανέτω πρὸς ἀναγραφὴν τὰ τοῦ Βακχείου πάντα, καὶ παραδώσει ὁμοίως τῷ μετ' αὐτὸν ἐσομένῳ ταμίᾳ. παρεχέτω δὲ οἴκοθεν τὸ θερμόλυχνον τάς τε ἐνάτας καὶ ἀμφιετηρίδα καὶ στιβάδα, καὶ ὅσαι ἔθιμοι τοῦ θεοῦ ἡμέραι καὶ τὰς ἀπὸ κλήρων ἢ τειμῶν ἢ τάξεων ἡμέρας. νν αἱρείσθω δὲ γραμματέα, ἐὰν βούληται, τῷ ἰδίῳ κινδύνῳ, συνκεχωρήσθω δὲ αὐτῷ ἡ ταμιευτικὴ σπονδὴ καὶ ἔστω ἀνείσφορος τὴν διετίαν. νν ἐὰν δέ τις τελευτήσῃ ἰόβακχος, γεινέσθω στέφανος αὐτῷ μέχ<ρ>ι (δην.) ε´, καὶ τοῖς ἐπιταφήσασι τιθέσθω οἴνου κεράμιον ἕν, ὁ δὲ μὴ ἐπιταφήσας εἰργέσθω τοῦ οἴνου.

Μήλος, αρχές 3ου αι. μ.Χ. [Jaccottet, *Choisir Dionysos*, vol. 2, inscr.166 & 167]




